eul_wid: pcs-al

Ἀρριανός ὁ Νικομηδεύς · Arrian of Nicomedia

# Uncertain Fragments

Ἀποσπάσματα Ἀβέβαια

**Period:** Ῥωμαϊκή Roman
**Dialect:** Ἀττικίζουσα Atticizing
**Domain:** Φιλοσοφία Philosophy
**Format:** Πραγματεία Treatise
**Affiliation:** Stoic

## FRAGMENTA QUAE UTRUM E PARTHICIS AN EX HISTORIA SUCCESSORUM ALEXANDRI DESUMPTA SINT INCERTUM EST. Sui d .

1 s . v . αἰσχρά · ταῦτα αἰσχρὰ μὲν οἱ ἀμφ’ αὐτὸν ἐγίνωσκον καὶ τὴν ἀποχώρησιν οὔτε ἐν τῷ παραυτίκα εὐπρεπῆ οὔτε ἀσφαλῆ ἐς τὰ μέλλοντα. Sui d .

2 s . v . ἀμαυρά · Ἀρριανός · ἐξ ὧν καὶ τὰ ὑπόλοιπα δι’ ἐλπίδος ἔχω οὐκ ἀμαυρᾶς ὅτι καλῶς μοι ἕξει. Sui d .

3 s . v . ἀνέδην · Ἀρριανός · οἱ δὲ τοῖς φρέασι φύλακας ἐπέστησαν, ὡς μὴ ἀνέδην ὅπως τις ἐθέλοι ὑδρεύεσθαι, ἀλλ’ εἰς τὸ κοινὸν ξυλλέγεσθαι πᾶν ὅσονπερ ἀνιμῷτο τοῦ ὕδατος, ἐκεῖθεν δὲ διανομὴν γίνεσθαι τὴν ἴσην ἑκάστοις. Sui d . [5]

4 s . v . αὐτόθεν et partim s. v. παραυτόθεν · Ἀρριανός · ἀλλὰ χρῆναι γὰρ αὐτόθεν ὡς ἔχουσιν ἀντεπεξελθόντας ἐν χερσὶ στήσασθαι τὸ τέλος τοῦ πολέμου. Sui d .

5 s . v . βουλυτός · Ἀρριανός · γίνεται μάχη καρτερὰ ἔστε ἐπὶ βουλυτὸν ἀγχώμαλος. Sui d .

6 s . v . γλίσκρον · Ἀρριανός · τὰ ἐπιτήδεια γλίσχρως τῇ στρατιᾷ ἐπορίζοντο. Sui d .

7 s . v . δεῖμα · Ἀρριανός · τοσόνδε αὐτοὺς δεῖμα ὡς προσαγόντων δεινῶν κατέσχεν ὥστε μὴ δύνασθαι ἀποστῆναι τῆς ἐκπλήξεως. Sui d .

8 s . v . διάλειμμα · Ἀρριανός · φυλακαὶ δὲ ἐπὶ τὰ διαλείποντα τῆς τάφρου ἐτετάχατο. Sui d .

9 s . v . ἕδρα · Ἀρριανός · ὅτι με καὶ ὄμμασι καὶ φωνῇ καὶ ἕδρᾳ ἐτίμησας. Sui d .

10 s . v . ἐλινύοντας · Ἀρριανός · αἱ δὲ κατασκοπαὶ οὐδέν τι ἐλινύουσαι ἐγίνοντο. καὶ αὖθις· ὁ δὲ ἀπῆγε τὴν στρατιὰν μηδέν τι ἐλινύσας. Sui d .

11 s . v . Ἐνυάλιος · Ἀρριανός · οἱδὲ τῷ Ἐνυαλίῳ ἀλαλάξαντες ἐναντίοι ἐφέροντο. Sui d .

12 s . v . ἐπαινέτης · Ἀρριανός · τοῦ τε ξὺν κόσμῳ δρωμένου ἐπαινέτης καὶ τοῦ ἀκοσμήτου ἐν τῷ παραυτίκα ἐπιτιμητὴς καὶ τοῦ ἐσύστερον κολαστήρ. Sui d .

13 s . v . ἐπάρας (et partim s. v. ἀποχρᾶν et s. v. ξυμβαινούση ς)· μειζόνως ἐπαινέσας τοῖς τε ἄλλοις ἐπάρας καὶ ὅτι ἀποχρῶν ἔσται τοῖς ἀμφ’ αὐτὸν ὠνεῖσθαι τὰ ἐπιτήδεια τῆς ξυμβαινούσης τιμῆς. Sui d .

14

s . v . ἐπελήφθη · Ἀρριανός · ἤδη τε ἐπελήφθη νὺξ τῆς τρίτης φυλακῆς καὶ ὁ ἡγεμὼν τοὺς λόχους καθίστατο. Sui d .

15 s . v . ἐπεχώρησεν · ἀντὶ τοῦ συνεχώρησεν· οὕτως Ἀρριανό ς . Sui d .

16 s . v . ἐπιτήδεια · Ἀρριανός · οὐδὲν ἄλλο εἰ μὴ τὰ ἐπιτήδεια τῆς δικαίας τιμῆς λαμβάνοντας. Sui d .

17 s . v . εὔψυχος · Ἀρριανός · τῶν μάλιστα εὐψυχίαν τινὰ ἐν τοῖς δεινοῖς ἐπιδεικνυμένων. Sui d .

18 s . v . κατεδημαγώγησε · Ἀρριανός · τῷ τε στρατηγήματι τῷδε μάλιστα φιλανθρώπῳ φανέντι κατεδημαγώγησεν οὐκ ἀπιστεῖν αὐτῷ καὶ πολεμοῦντι τοὺς περιοίκους. Sui d .

19 s . v . κολωνός (et partim s. v. ἄλιθο ν) · Ἀρριανός · καθεώρων κολωνοὺς λίθων πολλαχοῦ τοῦ ὄρους νενεμημένους, τοὺς μὲν μείζους τοὺς δὲ ἐλάττους· οὓς εἴκαζον ἐκ τοῦ πεδίου συνενηνέχθαι. ἦν γὰρ οὐ φύσει ἄλιθον οὐδὲ εὔγειον τὸ πεδίον, ἀλλ’ οἷον εἰκασθῆναι ἐκκεκαθαρμένον. Sui d . [5]

20 s . v . ξυνάγκεια · Ἀρριανός · ὁ δὲ ὑποτεμόμενος αὐτὸν ἐν ξυναγκείᾳ τινὶ βάλλει κατὰ νώτου τὸν ἄνθρωπον. Sui d .

21 s . v . ὀκνεῖν · κατάσκοπον οὐδένα ἐκ τῶν πολεμίων ὀκνεῖν, ἀλλὰ καὶ πρὸ ἔργου ἡγεῖσθαι γινώσκειν αὐτούς, ξὺν ὅσῃ τε καὶ ὅπως ὡπλισμένῃ δυνάμει ἔρχεται. Sui d .

22 s . v . παρὰ τούτου · ἀντὶ τοῦ· ἀπὸ τούτου. καὶ παρὰ τοῦτον· ἀντὶ τοῦ· πρὸς τοῦτον. οὕτως πανταχοῦ Ἀρριανό ς . Sui d .

23 s . v . παρεξειρεσίαν · Ἀρριανός · τῶν μὲν κωπῶν ἔστιν ἃς ξυνέτριψαν καὶ τῆς παρεξειρεσίας τινὰ ἀπέθραυσαν. Sui d .

24 s . v . παρεστηκότες · Ἀρριανός · οἱ δὲ ἐσκεδασμένοι καὶ οὐ παρεστηκότες ταῖς γνώμαις ἐς φυγὴν ἐτράπησαν. Sui d .

25 s . v . προὐργιαίτερον et s. v. πρὸ ἔργου ἐτίθετο · Ἀρριανός · μάλιστα δὲ φίλια τὰ κατὰ νώτου ἑαυτῷ τε καὶ τῇ στρατιᾷ καταλιπεῖν πρὸ ἔργου ἐτίθετο ὁ στρατηγός. Sui d .

26 s . v . σχάσαντα · ἔλεγον σχάσαντα ἐκ τῶν βραχιόνων τὰς φλέβας λειποψυχήσαντα ἀποθανεῖν. οὕτως Ἀρριανό ς . Sui d .

27 s . v . φοβερός · ὁ φοβούμενος. Ἀρριανός · οἱ δὲ ἐμβεβληκότων τῶν πολεμίων φοβεροὶ 〈γενόμενοι〉 καὶ ἀμήχανοι ἄνευ τοῦ ἐς τὸ κοινὸν ὠφελίμου ἀπώλλυντο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org